www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον μεγαλομάρτυρα Εὐστάθιον

Ἦχος πλ.β᾽

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Κανὼν εἰς τὸν Ἅγιον μεγαλομάρτυρα Εὐστάθιον, οὗ ἡ ἀκροστιχίς, «Εὐστάθιον τὸν μέγαν ὑμνολογῶ», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.», Ἦχος πλ.β΄.

*Ὠιδὴ Α΄ Ὡς ἐν ἠπείρῳ.*

Ἐν πειρασμοῖς ἀναδέδειξαι ὡς Ἰώβ, νέος παναοίδιμε, καὶ μαρτύρων τοῦ Χριστοῦ, καλλονὴ καὶ κλέος τῶν πιστῶν, καὶ προστάτης τῶν αἰτούντων ἑτοιμότατος.

Ὑπομονῆς ὁ ἀδάμας ὁ ἐκλεκτός, ἔνδοξε Εὐστάθιε, καὶ χρυσίον τῷ πυρί, ὡς χωνευτηρίῳ τῶν δεινῶν, ἀνεδείχθης Χριστομάρτυς γενναιότατος.

Στερρὰν τὴν ἔνστασιν ἔχων τῶν δυσμενῶν, πανεχθίστων τέλεον, καταβέβληκας ὀφρύν, καὶ προσομιλήσας τῷ πυρί, τῷ Δεσπότῃ προσηνέχθης ὁλοκαύτωμα.

*Θεοτοκίον.*

Ἱλέωσαί μοι Παρθένε τὸν σὸν Υἱόν, ὅνπερ παρεπίκρανα, ἀτοπήμασι πολλοῖς, καὶ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

αὐτῷ με πρὸ τῆς τελευτῆς, τῇ ἀπείρῳ ἀγαθότητί σου σύνταξον.

*Ὠιδὴ Γ' Οὐκ ἔστιν ἅγιος.*

Τῶν παίδων μάκαρ στερηθείς, καὶ σύνευνόν σου πᾶσαν πρὸς Θεὸν τὴν ἐλπίδα, ἀνατέθεικας διό, ἀπολαβεῖν πρὸς αὐτοῦ, τούτων μάρτυς ἔνδοξε ἠξίωσαι.

Ἀρρήτοις σε ἐν πειρασμοῖς, ὁ ἀρχέκακος ὄφις, ἐμβαλὼν κατησχύνθη, τῇ στερρᾷ σου ἀθλητά, ὑπομονῇ τὸν Χριστόν, καὶ γὰρ εἶχες τοῦτον δυναμοῦντά σε.

Θηρῶν ἀγρίων τὰς ὁρμάς, ὁ Εὐστάθιος ἅμα, τοῖς συνάθλοις γενναίως, ὑπομένει καὶ πυρί, τελειωθεὶς πρὸς Χριστόν, στεφηφόρος τὸν Θεὸν ἀνέδραμε.

*Θεοτοκίον.*

Λάμπουσα Κόρη τῷ φωτί, τῆς ἀκτίστου Τριάδος, τῆς κακίας μου σκότος διασκέδασον καὶ δός, ἔργα φωτός με ποιεῖν, πρὶν τὸ τέλος, εὕρῃ τὸν ἀσύνετον.

*Ὠιδὴ Δ' Χριστός μου δύναμις.*

Ἰσχὺν Εὐστάθιε, ὁ πάντων Κύριος, σοὶ δεδώρηται μάκαρ τῶν πειρασμῶν, τὸ δεινὸν κλυδώνιον, ἐν διανοίᾳ σταθερᾷ, ὑπομεῖναι ἀξιάγαστε.

Ὁδόν σοι ἅγιε, Χριστὸς ὑπέδειξε, τὴν στενὴν διοδεῦσαι ἣν ἀκλινῶς, ἐκπεράσας ἔφθασας, ἐν ταῖς μοναῖς τῶν ἐκλεκτῶν, καὶ τοῖς ἄθλοις ἐγκοσμούμενος.

Νικήσας ἔνδοξε, σατὰν τὸν δόλιον, στεφηφόρε Εὐστάθιε καρτερῶς, ὑπομείνας στέρησιν, τῶν σῶν καὶ δεινοῖς, ὁμιλήσας περιστάσεσι.

*Θεοτοκίον.*

Ἀπεγνωσμένον με ὄντα Πανάχραντε, ὡς μὴ σθένοντα ὅλως διαφυγεῖν, βδελυρᾶς ὁ δύστηνος, θεομισήτου καὶ αἰσχρᾶς, συνηθείας σύ με οἴκτειρον.

*Ὠιδὴ Ε΄ Τῷ θείῳ φέγγει σου.*

Τῶν πάντων πάντη στερηθείς, ὥς τις ἄλλος ἔφερες Ἰώβ, σκοπῶν τοῖς ἄνω Εὐστάθιε, τῷ Χριστῷ ἀεὶ ἐνορῶν, τῷ μόνῳ Θεῷ, καὶ τούτου τὴν παράκλησιν ἐκδεχόμενος.

Ὁ πάντα φέρειν σοι ἀθλητά, τῶν ἁπάντων ὁ Δημιουργός, κελεύσας αὖθίς σοι ἅγιε, ἀγαθοῖς παμμάκαρ κοσμεῖ, καὶ ὄντως στερρόν, αὐτοῦ μεγαλομάρτυρά σε ἀνέδειξε.

Νυκτὸς τὴν πλάνην διαφυγῶν εἰδωλομανούντων ζοφεράν, Χριστοῦ τῷ φέγγει διέλαμψας, καὶ βασάνοις ἐγκαρτερῶν, καὶ πόνοις αὐτῷ, θεόφρον προσηρμόσθης ἀγαλλιώμενος.

*Θεοτοκίον.*

Ῥυπῶντα ὅλον με ἀγαθή, ἔργων ἐξ αἰσχύνης πρὸς τὴν σήν, προσφεύγω Κόρη ἀντίληψιν, πρὶν τοῦ τέλους φθάσῃ καιρός, ἐλέῳ τῷ σῷ, ὁδῷ τῆς μετανοίας με χειραγώγησον.

*Ὠιδὴ ΣΤ΄ Τοῦ βίου τὴν θάλασσαν.*

Μιμούμενος ἔνδοξε, τὸν Δεσπότην σου καλῶς, πλοῦτον τὸν σὸν ἐσκόρπισας, τῶν πενήτων εἰς χεῖρας καὶ θησαυρόν, ἀθλητὰ Εὐστάθιε, ἐν οὐρανοῖς ἀπολαβών, αἰωνίως ἐπαγάλλεσαι.

Ἐν πλούτῳ φιλάνθρωπος, ἐν πενίᾳ συμπαθής, ἐν πειρασμοῖς ἀπτόητος, ἐν σταδίῳ

Εὐστάθιε ἀριστεύς, ἐδείχθης μακάριε, τὸν Χριστὸν κεκτημένος δυναμοῦντά σε.

Γερῶν κατηξίωσαι, τῶν ἀφθάρτων ἀνδρικῶς, προσομιλήσας ἔνδοξε, ἐν βασάνοις ποικίλλαις καὶ τῷ πυρί, τὸν δρόμον τετέλεκας, ἀθλοφόρε μαρτύρων ἐγκαλλώπισμα.

*Θεοτοκίον.*

Ἰοῦ ἡ καθάρασα, γένος ἅπαν τῶν βροτῶν, τοῦ ἀρχεκάκου δράκοντος, κἀμὲ Κόρη Παρθένε τῶν ἡδονῶν, πιόντα τὸ φάρμακον, καὶ φθαρέντα με αὖθις ἀνακαίνισον.

*Ὠιδὴ Ζʹ Δροσοβόλον μὲν τὴν κάμινον.*

Ἀπεκδύσω τὸν φθειρόμενον μακάριε, ἄνθρωπον πειρασμοῖς ἐμπεσών, ἐνεδύσω δὲ τὸν Χριστὸν ἐν ἔργοις, λάμψας ἀγαθοῖς, καὶ αἵματι μάρτυς φοινιχθείς, στεφηφορῶν πρὸς οὐρανόν, ἀνέπτης ἔνδοξε.

Νικηφόρος ἀναδέδειξαι Εὐστάθιε, σώματι τῶν ἀσάρκων ἐχθρῶν, τροπωσάμενος δὲ τούτων τάξεις, μάκαρ συναθλῶν, συνεύνῳ τε ἅμα καὶ παισί, Χριστὸν ἐν ὕμνοις εὐλογῶν, τὸν τῶν Πατέρων Θεόν.

Ὑπομένων παμμακάριστε ὑπέμεινας, θλίψεων ἅπαν εἶδος διό, καθυπόδειγμα τοῖς ἐν κόσμῳ, ὤφθης ἀθλητά, Χριστῷ ἱκετεύων ἐκτενῶς, ὑπὲρ τῶν πίστει σε ἀεί, προσκαλουμένων θερμῇ.

*Θεοτοκίον.*

Ὡς πολὺ τὸ ἔλεός σου καὶ ἀνέκφραστον, Δέσποινα, τοῖς ὑμνοῦσιν ἀεί, τῶν θαυμάτων τῶν σῶν Παρθένε, ἄπειρον πληθύν, κἀμοὶ τῷ ὑμνοῦντί σε πιστῶς, τοῦ σοῦ ἐλέους ἐντυχεῖν, ἀξίωσον ἀγαθή.

*Ὠιδὴ Η΄ Ἐκ φλογὸς τοῖς ὁσίοις.*

Μιμητὰ τοῦ Δεσπότου μάρτυς Εὐστάθιε, πειρασμοῖς ἐμπεσοῦσιν ἡμῖν ἐπίβλεψον, τούτων ἐκλυτρῶν, στεφανίτα πανένδοξε, τῶν ἱκεσιῶν σου, ἐνθέῳ δυναστείᾳ.

Νικητήν σε ὁ πάντων Χριστὸς καὶ Κύριος, τῆς σαρκὸς καὶ τοῦ κόσμου, μάκαρ ἀνέδειξε, καὶ ἐπιφοραῖς χαλεπῶν περιστάσεων, καὶ στερρὸν ὁπλίτην αὐτοῦ ἐν τῷ σταδίῳ.

Ὁ χαλκώματι ἔνδοξε ἐγκλειόμενος, τοῦ πυρὸς σὺν χορείᾳ τῶν συναθλούντων σοι, τῷ

Δημιουργῷ τῶν ἁπάντων ἀνέκραζες, εὐλογῶ ἀεί σε, Θεέ μου εἰς αἰῶνας.

*Θεοτοκίον.*

Νέον γέγονε βρέφος Χριστὸς ὁ Κύριος, ἐκ σοῦ Κόρη ἀφράστως ὁ πολυέλεος, σῶσαι ἐκ φθορᾶς βουληθεὶς τὸ ἀνθρώπινον, τὸν παραπεσόντα, κἀμὲ Παρθένε σῶσον.

*Ὠιδὴ Θ΄ Θεὸν ἀνθρώποις.*

Λιπὼν τὰ κάτω πρὸς τὰ οὐράνια, μάρτυς Χριστοῦ ἀνέδραμες, στεφάνῳ κοσμούμενος, τῷ τῆς μαρτυρίας σου καὶ νῦν τοῖς χοροῖς, Ἀγγέλων συναυλίζῃ μεθ' ὧν ἱκέτευε τῷ Χριστῷ, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὁ μέγας μάρτυς Χριστοῦ Εὐστάθιος, πάντας ἡμᾶς τελέσαι συγκαλεῖ τὴν πανέορτον, μνήμην καὶ χαρμόσυνον αὐτοῦ ἐν ᾠδαῖς, ὕμνοις καὶ ἐγκωμίοις, τοῦτον γεραίροντες, καὶ ἐπινικίοις καταστέφοντες ἐν ἄσμασι.

Γλυκὺς πᾶς λόγος καὶ πανευφρόσυνος, τῆς βιοτῆς τῆς σῆς, ἐν Ἐκκλησίᾳ λαλούμενος, μάρτυς τῶν πιστῶν, καὶ γὰρ Χριστὸς ὁ Θεός,

ἄνωθέν σε ἐξ ὕψους, προσεκαλέσατο, καὶ τῶν ἐκλεκτῶν ἐν τῇ χορείᾳ συνηρίθμησε.

Ὡραίοις πάνσοφε τὴν Τρισήλιον, ἐν τῷ σταδίῳ λόγοις, Μοναρχίαν ἐκήρυξας, τὸν Πατέρα ἅμα τε Υἱὸν σὺν αὐτοῖς, Πνεῦμα φύσει Μονάδα, ἣν καθικέτευε, τοῦ ἐλεηθῆναι τοὺς τιμῶντάς σε Εὐστάθιε.

*Θεοτοκίον.*

Μαρία Μήτηρ τοῦ Παντοκράτορος, Χριστοῦ τοῦ δι' ἡμᾶς, ἐκ σοῦ τεχθέντος Θεοῦ ἡμῶν, Ὄρος τὸ σὸν φύλαττε τοῦ Ἄθω Ἁγνή, πάντων ἐξ ἀοράτων, καὶ τῶν ὁρωμένων ἐπιβούλων τῇ δυνάμει σου.

*Προσόμοια.*

*Ὅλην ἀποθέμενοι. Ἦχος πλ.β΄.*

Κλήσεως τῆς ἄνωθεν, τυχὼν Εὐστάθιε μάρτυς, ἀπηρνήσω ἔνδοξε, πατρικὴν δυσσέβειαν τὴν πανώλεθρον, καὶ Χριστῷ ἅγιε, πανοικεὶ προσῆλθες, στρατηλάτα ὡς ἡ ἔλαφος, τῷ Παντοκράτορι, καὶ παμβασιλεῖ τὸν τῆς δίψης σου, φλογμὸν ἀποσβεννύμενος, καὶ πυρὶ τὸν δρόμον τελούμενος, καὶ νῦν σὺν μαρτύρων, χορείαις παριστάμενος Χριστῷ, τοὺς τὴν σὴν μνήμην γεραίροντας, σώζεσθαι ἱκέτευε.

Ὄντως ὑπερθαύμαστε, νέος Ἰὼβ ἀνεδείχθης, προσβολαῖς βαλόμενος, πειρασμῶν τοῖς κύμασιν οὐκ ἐνέδωκας, τὸν Χριστὸν εἶχες γὰρ, ἐν τῇ σῇ καρδίᾳ, δυναμοῦντά σε Εὐστάθιε, φέρειν τὴν στέρησιν, παίδων καὶ συζύγου τρισόλβιε, καὶ αὖθις πρὸς τὰ σκάμματα, τρέχειν ἀνδρικῶς τῆς ἀθλήσεως, καὶ ἡμῖν δυσώπει, Χριστὸν ἐν δυσχερείαις παρασχεῖν, ὑπομονὴν καὶ σωτήριον, τέλος τοῖς ὑμνοῦσί σε.

Κόσμου περιφάνειαν, ὑπεριδὼν ἀθλοφόρε, καὶ ῥεόντων ἅπασαν ἀχθηδόνα ἔλιπες ἀνδρικώτατα, καὶ Χριστῷ ἔνδοξε, τῷ Σωτῆρι μάρτυς, προσηνέχθης ὁλοκαύτωμα, πυρὶ καιόμενος, συναθλοῦντας ἔχων μακάριε, τοὺς παῖδας καὶ τὴν σύνευνον, καὶ πρὸς οὐρανίους ἐχώρησας, μονὰς καὶ στεφάνοις, τῆς νίκης ἐκοσμήθης πρὸς Χριστοῦ, ὃν ἐκδυσώπει Εὐστάθιε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἕτερα εἰς τὸν αὐτὸν Ἅγιον Εὐστάθιον.*

*Ἦχος πλ.α΄.*

Δεῦτε φιλομαρτύρων πληθύς, τῶν ἀθλοφόρων ἐν τῇ μνήμῃ συνέλθωμεν, ὑμνοῦντες τὸν ζωοδότην, καὶ Βασιλέα Χριστόν, τὸν σαρκὶ παθόντα καὶ τὸν ἄνθρωπον, ἐκ φθορᾶς ἐκλυτρώσαντα καὶ ζωὴν δωρησάμενον, ὅνπερ ὁ μέγας, καὶ γενναῖος



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Εὐστάθιος ὁ πανεύφημος, πρὸ βημάτων ἱστάμενος, πάντων καθωμολόγησεν, ἀνδρείως ὁ ἔνδοξος, Δημιουργὸν καὶ Δεσπότην καὶ τῷ πυρὶ ὁλοκαύτωμα, αὐτῷ προσηνέχθη, ἐξαιτούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Χαίρει ἡ Ἐκκλησία Χριστοῦ, στολιζομένη τῶν μαρτύρων τοῖς αἵμασι, καὶ πάντας ὡς ἐν εὐσήμῳ προσκαλουμένη φαιδρᾷ, ἑορτῆς ἡμέρᾳ, θείοις ᾄσμασι, Χριστοῦ τὸν ἀήττητον, ἀριστέα Εὐστάθιον, σὺν τῇ συνεύνῳ καὶ παισὶ καταστέψασθαι, τοῖς θεόφροσι, καὶ τὴν λύσιν αἰτήσασθαι, ζάλης καὶ περιστάσεων, δεινῶν καὶ γὰρ ὕψωμα, τῶν γλωσσαλγούντων ἐπήρθη, καινοφωνίας τὰ ῥήματα, Χριστὲ πανοικτίρμον, τῶν μαρτύρων σου πρεσβείαις, τούτους ἀφάνισον.

Κρείσσων πειρατηρίων δεινῶν, ἐν κόσμῳ ὤφθης, παμμακάριστε δεύτερος, Ἰὼβ καὶ Χριστοῦ μαρτύρων, ὥς τις ἀδάμας στερρός, τῷ πυρὶ τὸν δρόμον τελειούμενος, ἡμᾶς τοὺς τελοῦντάς σου, πίστει θείαν πανήγυριν, Χριστὸν δυσώπει, πειρασμῶν ἐκλυτρώσασθαι καὶ δωρήσασθαι, τὴν εἰρήνην τῇ ποίμνῃ αὐτοῦ, ἣν περιεποιήσατο, ἰδίῳ πρὶν αἵματι, καὶ ἥνπερ ἐσμὸς ἀφρόνων, νῦν διχασμῷ ὑπεισήγαγεν, Εὐστάθιε μάρτυς, εὐσταθῶς βαίνειν παράσχου ταύτην πρεσβείαις σου.